## *Συναξάριον.*

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ
Ὁσίου Λεοντίου τοῦ ἐν Ἀχαΐᾳ.

*Λεοντίου τίς τὸν βίον μὴ θαυμάσῃ;*
*Ἐν σαρκὶ γὰρ μετῆλθεν Ἀγγέλων βίον.*
*Πτῇ ἑνδεκήτῃ πόλῳ ἦτορ ἐν εἰρήνῃ Λεοντίου.*

Οὗτος ὁ νεοθαλὴς τῆς ἀμπέλου τοῦ Κυρίου βλαστός, πατρίδα μὲν ἔσχε πόλιν τινὰ τῶν κατὰ τὴν Πελοπόννησον καλουμένην Μονεμβασίαν. Γεννήτορας δὲ τῶν ἐπιφανῶν καὶ θεοφιλῶν· ὁ δὲ τοῦτου πατὴρ, Ἀνδρέας τοὔνομα, καὶς πάσης τῆς Πελοποννήσου τὴν ἀρχὴν ἐμπιστεύεται παρὰ τοῦ εὐσεβοὺς Ἀνδρονίκου, τῆς βασιλείας Ῥωμαίων τὰ σκῆπτρα ἰθύνοντος. Τοιᾶς δε τοίνυν ῥιζουχίας ἐκβλαστήσας, καὶ τοιαύτας παῖς ὤν τὰς ἀρχὰς ἔχων, προσφυᾷ, καρποῦται καὶ τὴν ἀναγωγήν, καὶ γραμμάτων εὐθὺς ἱερῶν εἰς μαθητείαν ἐκδίδοται· ὧν τὴν γλυκύτητα αἰσθανόμενος ἐν ἐπιθυμίᾳ γίνεται, ἐπιστημῶν ἅψασθαι καὶ εἰς ἀκρότητα φθάσαι τούτων· ἔνθεντοι, νοὸς ὀξύτητι καὶ βίου καθαρότητι, χρόνος οὐ μεταξὺ πολύς, καὶ τῶν μαθημάτων γίνεται ἐγκρατής, καὶ ἐκ τῶν διαλέκτων πολλῶν, εἶτα πέμπεται εἰς τὴν βασιλίδα τῶν πόλεων. Τοῦτο μέν, ἵν’ ὅπως καὶ τοῖς ἐκεῖ συμφιλοσοφήσων φιλοσοφοῦσιν, ἐξασκηθῇ περιπλέον, τοῦτο δέ ἵν’ ἐνδιατρίβων τοῖς οἴκοις τῶν βασιλέων, ἐνθὰς πάντων τῶν περὶ αὐτοὺς χρηματίσῃ. Ἀλλ’ οὖν γε μέγας ἔντε φιλοσοφίᾳ,

φρονήσει, καὶ ἀρετῇ ὀφθείς, τοῖς πᾶσι θαυμάζεται, καὶ παρὰ τοῦ βασιλέως ἀσπάζεται ὅτι μάλιστα καὶ τιμᾶται. Τοῦ δὲ πατρός, τὴν πρὸς θάνατον νοσήσαντος, καὶ Χριστῷ τελευτήσαντος, ἐπὶ τὴν ἐνεγκαμένην ἐπαναλύει, πανθ’ ὑπείκων τῇ μητρί, ἧς τῇ ἐπιταγῇ, γυναικὶ καὶ προσομιλεῖ. Ἡ δε Θεοδώρα, τῶν μερίμνων ἀποσπασθεῖσα, είς σεμνὸν ἀπέρχεται βίον, ἔνθα τὸ λειπόμενον τῆς ζωῆς διανύσασα θεαρέστως, καὶ τὴν ἑαυτῆς τελευτὴν προγνοῦσα, πρὸς Κύριον ἐξεδήμησε. Διὰ ταῦτα, οὓ ἐπόθη καὶ οὗτος ἐξ αὐτῶν σπαργάνων ἐφάπτεται, εὐαγγελικῶς ἐγκαταλιπὼν γυναῖκα καὶ τὰ τρία τέκνα καὶ εὑρὼν ἱερὸν ἄνδρα, τοῦ μοναδικοῦ πολιτεύματος γυμναστὴν ἀκριβέστατον, Μεννίδην ἐπικαλούμενον, καὶ τοὺς ὑφ’ ἑαυτὸν πρὸς οὐράνιον πολιτείαν ἰθύνοντα. Τούτοις συκαταλαγεὶς ὁ μακάριος, καὶ τὴν Λεοντίου κλῆσιν ἀναλαβὼν, ἀντὶ Λέοντος, ὅ ἐλέγετο πρότερον, πάντας ὡς ἐν ὀλίγῳ τοὺς συναγωνιστάς, τοῖς πόνοις ὑπερβάλετο, δουλαγωγῶν τὴν σάρκα, καὶ κατατρύχων, καὶ πρὸς μόνην τὴν τῆς ἐν οὐρανῷ πολιτείας ἀποβλέπων ἀπόλαυσιν· ἐντεῦθεν μεταχωρεῖ ἐπὶ τὸ ἁγιώνυμον ὅρος τοῦ Ἄθω, καὶ τὴν τῶν ἐκεῖ μονοτρόπων ζηλωσάμενος πολιτείαν, ἔνθα καὶ πολλοὺς παρ’ αὐτοῖς τοὺς πνευματικοὺς ἱδρῶτας ὑπερεκχεει, ὑποταγὴν πάσιν, καὶ ταπείνωσιν δεικνύων ἄκραν. Διὰ δὲ τὴν ἐκ τῆς ἀρετῆς ὑπὸ πάντων αὐτῷ προσαγομένην τιμήν, ἐκεῖθεν ἀπαίρει πάλιν, καὶ τοῖς ἀβάτοις ἐπὶ πολύ, τῆς Πελοποννήσου

ἐρήμοις κατὰ μόνας, ἐς ἀεὶ τοῦ Θεοῦ δεόμενος ὑποδείξαι αὐτῷ τόπον, ἐν ὧ γενόμενος, δουλεύσει, και εὐαρεστήσει Αὐτῷ· ἀπεκαλύφθη δ᾽ αὐτῷ, ἀφικέσθαι ἐπὶ τὰ βόρεια, εἰς τὸ ὄρος τὸ λεγόμενον Κλωκὸν τοῦ Γέροντος, ἄνωθεν Βοστίτσας (Αἰγίου)· ἔνθα ἐπὶ πλεῖστον διαγωγῶν, κρύει πηγνύμενος καὶ θέρει καυσούμενος, ἁπάσας τὰς ζοφοειδεῖς τῶν δαιμόνων κατεπάτησε φάλαγγας, κραταιὰν ἰσχὺν ἔχων τον Χριστόν, ὅθεν καὶ πρὸς ἀπάθειαν ἤλασε, καὶ τὸν νοῦν αὐτοῦ εἰς ὕψος ἔνθεον ἀνεπτέρωσε καὶ θαυμάτων ἐπλούτησε τὴν ἐνέργειαν, χωλοὺς και κοιλοὺς ἰώμενος, ἐξ ὧν βασιλεὶς οἱ αὐτάδελφοι ὄ,τε Θωμᾶς και Δημήτριος, τὴν ἀρετὴν τοῦ ανδρὸς ὑπεραγασθέντες, καὶ σέβας αὐτῷ ἀπονέμοντες, ἱερὸν σκηκόκ, ἐν ὧ ἦν τῷ Αρχιστρατηγῳ Μιχαήλ, ἐξ αὐτοῦ ανεδείμαντο καὶ ἄλλα πλεῖστα, μέγιστα καταγώγια, ἐξ αὐτων κρηπίδων περιπυργώσαντες, οὗ πρὸς ἁγιασμὸν καὶ μέρη τῶν Ἁγίων Παθῶν τοῦ Σωτῆρος, τοῦ τε ανακνθίνου Στεφάνου, Τιμίου Ξύλου καὶ Σπόγγου, εἶτε χλαμίδος, ἃ εφερον, τῇ ἱερᾷ τραπέζῃ ἐπιτίθενται, καὶ Πλόκον ἔτι ἐκ των τριχῶν τοῦ Προδρόμου, Ἀρέθα τε χεῖρα, καὶ Στεφάνου τοῦ νέου κάραν. Ὁ δὲ Ὅσιος πολὺς πρόξενος σωτηρίας γενόμενος καὶ πολλοὺς πρὸς ζῆλον καὶ μίμησιν, του αὐτου ἀκραιφνοὺς βίου διαναστήσας, σοφίᾳ λόγων καὶ θείᾳ χάριτι, τὸν 75ον χρόνον τῆς ἑαυτοῦ ηλικίας φθάσας, καὶ φωτοειδεῖς προεωρακὼς Ἀγγέλους τὸ πνεῦμα αὐτου ἐν ἐν εἰρήνῃ παρεθετο. Το δὲ τίμιον αὐτου λείψανον κατετέθη εν

σπηλαίῳ, αεὶ βρύον ἰαματα. Οὗ εἰς ἀνακομιδήν ποτε ὁ μαθητὴς αὐτοῦ Παλαιῶν Πατρῶν Ἰωακεὶμ καὶ παν στὸ σύστημα τῶν ἀδελφῶν, συνελθόντες, σεισμοῦ γενομένου καὶ τοῦ ἄντρου διασχισθέντος μηδαμῶς προσεγγίσαι τῇ σορῷ ἴσχυσαν, ἐπὶ τῷ παραδόξῳ ἐκπλαγέντες.